60.

# ΠΕΡΙ ΤΟΥ ΕΜΦΑΙΝΟΜΕΝΟΥ ΠΡΟΣΩΠΟΥ ΤΩΙ ΚΥΚΛΩΙ ΤΗΣ ΣΕΛΗΝΗΣ 920

(Plan. 71)

1. ... † Ὀαννοσύλλας 'ταῦτ'' εἶπε· 'τῷ γὰρ ἐμῷ μύ- B
θῳ προσήκει κἀκεῖθέν ἐστι· ἀλλ' εἰ δή τι πρὸς τὰς ἀνὰ
χεῖρα ταύτας καὶ διὰ στόματος πᾶσι δόξας περὶ τοῦ προσ-
ώπου τῆς σελήνης προανεκρούσασθε, πρῶτον ἡδέως ἂν
μοι δοκῶ πυθέσθαι'. 'τί δ' οὐκ ἐμέλλομεν', εἶπον, 'ὑπὸ τῆς
ἐν τούτοις ἀπορίας ἐπ' ἐκεῖνα ἀπωσθέντες; ὡς γὰρ οἱ ἐν
νοσήμασι χρονίοις πρὸς τὰ κοινὰ βοηθήματα καὶ τὰς συν-
ήθεις διαίτας ἀπειπόντες ἐπὶ καθαρμοὺς καὶ περίαπτα
καὶ ὀνείρους τρέπονται, οὕτως ἀναγκαῖον ἐν δυσθεωρή-
τοις καὶ ἀπόροις σκέψεσιν, ὅταν οἱ κοινοὶ καὶ ἔνδοξοι καὶ C
συνήθεις λόγοι μὴ πείθωσι, πειρᾶσθαι τῶν ἀτοπωτέρων
καὶ μὴ καταφρονεῖν ἀλλ' ἐπᾴδειν ἀτεχνῶς ἑαυτοῖς τὰ τῶν
παλαιῶν καὶ διὰ πάντων τἀληθὲς ἐξελέγχειν.